www.tezaurliturgic.ro

# Ο ΝΕΟΜΑΡΤΥΣ ΑΓΙΟΣ ΧΡΗΣΤΟΣ Ο ΕΚ ΠΡΕΒΕΖΗΣ

ΕΚΔΙΔΟΤΑΙ

Προνοίᾳ τοῦ Σεβασμιωτάτου Μητροπολίτου
Νικοπόλεως καὶ Πρεβέζης
Κου Κου ΣΤΥΛΙΑΝΟΥ

ΕΚΔΟΣΕΙΣ Ι. ΜΗΤΡΟΠΟΛΕΩΣ ΝΙΚΟΠΟΛΕΩΣ
ΑΘΗΝΑΙ 1972

www.tezaurliturgic.ro

II.

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΑΓΙΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ ΧΡΗΣΤΟΥ
# ΤΟΥ ΕΚ ΠΡΕΒΕΖΗΣ

Ὑπὸ
Μοναχοῦ ΓΕΡΑΣΙΜΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ
Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας

*«Ψάλατε τῷ Κυρίῳ, οἱ ὅσιοι αὐτοῦ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ».*
*(Ψαλμ. κθ' 5).*

www.tezaurliturgic.ro

Αὐγούστου ε΄.

Μνήμην ἐπιτελοῦμεν τοῦ Ἁγίου Νεομάρτυρος Χρήστου τοῦ ἐκ Πρεβέζης καταγομένου, καὶ ἐν τῇ νήσῳ Κῷ μαρτυρήσαντος ἐν ἔτει σωτηρίῳ 1668.

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια:

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῶν Χριστωνύμων τὰ πλήθη δεῦτε συνέλθωμεν, τὸν νέον Ἀθλοφόρον, τοῦ Χριστοῦ ἀνυμνοῦντες, τὸ ἄνθος τῆς Πρεβέζης τὸ εὐθαλές, Χρῆστον πάντες τὸν ἔνδοξον· ὑπὲρ Χριστοῦ γὰρ ἀθλήσας περιφανῶς, ἐπαξίως τεθαυμάστωται.

Ἀπεριτρέπτῳ καρδίᾳ Χρῆστε μακάριε, Χριστῷ τὴν θείαν κλῆσιν, ὁμολόγησας χαίρων, καὶ ἤνεγκας ἀνδρείως τυράννων θυμόν, καὶ πυρὸς τὴν κατάφλεξιν· ὅθεν τῶν πάλαι Μαρτύρων ἰσοκλεής, ἀνεδείχθης καὶ ἰσότιμος.

Πρεβέζης χαίρει ἡ πόλις ἡ σὲ βλαστήσασα, ὦ Χρῆστε Νεομάρτυς, καὶ φαιδρῶς ἑορτάζει, τὴν μνήμην σου θεόφρον τὴν ἱεράν, καὶ ἡ Κῶς ἐν ᾗ ἤθλησας, ἁγιασθεῖσα ἀγῶσί σου τοῖς σεπτοῖς, μακαρίζει σου τὴν ἄθλησιν.

Ὡς εὐπρόσδεκτον θῦμα καὶ προσφορὰ λογική, καὶ



ἱερεῖον θεῖον, προσηνέχθης Κυρίῳ, πυρὶ ὡς κατεφλέχθης καρτερικῶς, Χρῆστε Μάρτυς μακάριε· καὶ νῦν δυσώπει ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν τιμώντων σου τὴν ἄθλησιν.

Δόξα. Ἦχος δ΄.

Εὐσεβείας διαπρέπων τοῖς τρόποις, μαρτυρίου εἰσῆλθες τὸ στάδιον, ἀνενδότῳ ψυχῇ, Χρῆστε Μάρτυς μακάριε· καὶ πεπαρρησιασμένως ἀγωνισάμενος, τῆς ἀπάτης καθεῖλες τὸ θράσος, καὶ τῆς θείας ἀγάπης τὴν δύναμιν, πᾶσιν ἐτράνωσας· καὶ νῦν Μαρτύρων τοῖς δήμοις συνών, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων...

Ἀπόστιχα.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Μνήμην σου τὴν σεπτήν, ὦ Χρῆστε Νεομάρτυς, Πρέβεζα ἡ πατρίς σου, ἄγουσα χαρμοσύνως, καυχᾶται τῇ ἀθλήσει σου.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Ἤθλησας ἀνδρικῶς, ἐν τοῖς ὑστέροις χρόνοις, καὶ ἤλεγξας τὴν πλάνην, πυρὶ φλεχθεὶς ἐνύλῳ, Χρῆστε στεῤῥῷ φρονήματι.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...

Σκέπε ταῖς σαῖς λιταῖς, ὦ Χρῆστε Νεομάρτυς, τὴν



σὲ τιμῶσαν πόλιν, καὶ πᾶσαν εὐπραγίαν, αἴτει τοῖς σὲ γεραίρουσι.

Δόξα. Τριαδικόν.

Πάτερ σὺν τῷ Υἱῷ, καὶ Πνεύματι τῷ θείῳ, ὁμόδοξε Θεότης, Χρήστου τοῦ Ἀθλοφόρου, πρεσβείαις σῶζε ἅπαντας.

Καὶ νῦν. Θεοτοκίον.

Ἄχραντε Μαριάμ, ἡ τέξασα ἀφράστως, Χριστὸν τὸν Βασιλέα, τῆς ἄνω βασιλείας, πολίτην με ἀνάδειξον.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὰ Ἀπολυτίκια ἐκ τοῦ μεγάλου Ἑσπερινοῦ καὶ

ἀπόλυσις.



## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς΄. καὶ ψάλλομεν Προσόμοια β΄, καὶ τοῦ Ἁγίου δ΄.

Προσόμοια Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Δεῦτε συνανέλθωμεν, τῷ Ἰησοῦ ἀναβαίνοντι, εἰς τὸ Ὄρος τὸ ἅγιον, κἀκεῖ ἀκουσόμεθα, φωνῆς Θεοῦ ζῶντος, Πατρὸς προανάρχου, διὰ νεφέλης φωτεινῆς, προσμαρτυρούσης ἐν θείῳ Πνεύματι, αὐτοῦ τὴν γνησιότητα, τῆς ἀϊδίου Υἱότητος, καὶ τὸν νοῦν φωτιζόμενοι, ἐν φωτὶ φῶς ὀψόμεθα.

Δεῦτε νῦν τὴν κρείττονα, ἀλλοιωθέντες ἀλλοίωσιν, ἑαυτοὺς εἰς τὴν αὔριον, καλῶς εὐτρεπίσωμεν, ἐν Ὄρει προσβῆναι, Θεοῦ τῷ ἁγίῳ, τὴν ἀναλλοίωτον Χριστοῦ, δόξαν ἀστράπτουσαν κατοπτεύσοντες, λαμπρῶς ὑπὲρ τὸν ἥλιον· καὶ τὸ τρισσὸν αὐγαζόμενοι, φῶς ἐν τούτῳ δοξάσωμεν, τὴν αὐτοῦ συγκατάβασιν.

Τοῦ Ἁγίου. Ἦχος ὁ αὐτός. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡς ἀθλήσας στεῤῥότατα, ἐν ὑστέροις τοῖς ἔτεσι, τὸν Χριστὸν ἐδόξασας Χρῆστε ἔνδοξε, μαρτυρικοῖς ἀγωνίσμασι, καὶ πᾶσαν κατῄσχυνας, τὴν ἀπάτην τοῦ ἐχθροῦ· διὰ τοῦτο τῆς δόξης σε, ἰσοστάσιον, τῶν Ἁγίων ἀνέδειξε

www.tezaurliturgic.ro

Μαρτύρων, οὗ ἐκήρυξας τὴν κλῆσιν, ἀκαταπλήκτῳ φρονήματι.

Τῷ πυρὶ ἐκκαιόμενος, τῆς Χριστοῦ ἀγαπήσεως, ὥσπερ ἄλλου πάσχοντος Χρῆστε ἤνεγκας, τὰς ἀλγηδόνας τοῦ σώματος, καὶ βίαιον θάνατον ὡς ἐρρίφης τῷ πυρί, τῷ παμφάγῳ μακάριε, καὶ ὡς ἄμωμον, τῷ Χριστῷ προσηνέχθης ἱερεῖον, ὑπὲρ πάντων ἱκετεύων, τῶν ἐκτελούντων τὴν μνήμην σου.

Θαῦμα μέγα ὁ Κύριος, τῇ ἀθλήσει σου ἔδειξε· τὸ γὰρ θεῖον σῶμα σου Μάρτυς ἄφλεκτον, ἐν τῇ φλογὶ διεφύλαξε, καὶ τοῦτο οὐράνιον, φῶς ἡμέραις ἐν τρισί, κατεκάλυπτεν Ἅγιε, ὃ καὶ χάριτας, ἰαμάτων παρέσχε τοῖς ἐν πίστει, προσελθοῦσι Νεομάρτυς, καὶ τὸν Σωτῆρα δοξάζουσι.

Τῆς Πρεβέζης τὸ βλάστημα, νήσου Κῶ τὸ ὡραῖσμα, τῶν πιστῶν τὸ μέγιστον ἐγκαλλώπισμα, ἄνθος τὸ νέον τῆς πίστεως, ὃ πᾶσι διέπνευσε, δι᾽ ἀθλήσεως στερρᾶς, εὐωδίαν τὴν κρείττονα, θείῳ Πνεύματι, Χρῆστον πάντες ᾀσμάτων μελῳδίαις, καταστέψωμεν τελοῦντες, τούτου τὴν μνήμην τὴν πάμφωτον.

Δόξα. Ἦχος πλ. β΄.

Σήμερον τῶν Χριστωνύμων αἱ χορεῖαι, Χρῆστε νέε τοῦ Χριστοῦ Ἀθλητά, τὴν σὴν τελοῦσαι μνήμην, ἰσχὺν θείαν λαμβάνουσι, τῇ σοὶ δοθείσῃ χάριτι· Χριστὸν γὰρ ὃν ἐδόξασας, κατ᾽ ἀξίαν βραβεύει, τοὺς πιστῶς σοι βοῶντας· χαίροις ὁ τὸ πῦρ τὸ οὐράνιον δεξάμενος, καὶ διὰ πυ-



ρᾶς τελέσας, τὸν τῆς ἀθλήσεως ἀγῶνα· χαίροις ὁ μαρτυρικῇ ἐνστάσει, θριαμβεύσας τὴν πλάνην, καὶ ὡς λογικὸν ὁλοκαύτωμα καὶ θῦμα ἅγιον, προσενεχθεὶς τῷ Χριστῷ· χαίροις Πρεβέζης ἀγλάϊσμα, καὶ πρὸς Θεὸν μεσίτης, καὶ πρεσβευτὴς θερμότατος. Ὢ πρέσβευε πάντοτε, σώζεσθαι τοὺς σὲ μακαρίζοντας.

Καὶ νῦν. Ὁ αὐτός. Προεόρτιον.

Προτυπῶν τὴν Ἀνάστασιν τὴν σήν, Χριστὲ ὁ Θεός, τότε παραλαμβάνεις τοὺς τρεῖς σου Μαθητάς, Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, ἐν τῷ Θαβὼρ ἀνελθών. Σοῦ δὲ Σωτὴρ μεταμορφουμένου, τὸ Θαβώριον ὄρος φωτὶ ἐσκέπετο. Οἱ Μαθηταί σου Λόγε, ἔρριψαν ἑαυτοὺς τῷ ἐδάφει τῆς γῆς, μὴ φέροντες ὁρᾶν, τὴν ἀθέατον μορφήν. Ἄγγελοι διηκόνουν φόβῳ καὶ τρόμῳ, οὐρανοὶ ἔφριξαν, γῆ ἐτρόμαξεν, ὁρῶντες ἐπὶ γῆς τῆς δόξης τὸν Κύριον.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας,
καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

(Κεφ. μγ΄ 9).

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ



ἔσται. Ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. γ΄ 1).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. ε΄ 15).



Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν· Ἀκούσατε οὖν Βασιλεῖς, καὶ σύνετε· μάθετε Δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν, Ἰδιόμελα.

Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ, πόλις τῆς Πρεβέζης, Χρῆστον τὸν νέον Ἀθλητήν, κατ᾽ ἀξίαν τιμῶσα· ἐκ σοῦ γὰρ ἀνεβλάστησεν, ὡς εὐσεβείας φοῖνιξ καρποτελής, καὶ ἐν Κῷ

www.tezaurliturgic.ro

νομίμως ἀθλήσας, τῆς θείας ἀγάπης, πᾶσιν ὑπέδειξε τὴν δύναμιν· καὶ τοῖς σπαργάνοις αὐτοῦ ἁβρυνομένη, τὴν μνήμην αὐτοῦ ἑόρταζε, τῷ Χριστῷ βοῶσα· Κύριε, ὁ τὸν σὸν Νεομάρτυρα ἐνισχύσας, καὶ τιμήσας καὶ δοξάσας, ταῖς αὐτοῦ πρεσβείαις, δίδου ἡμῖν τὰ ἐλέη σου, ὡς ἐλεήμων καὶ φιλάνθρωπος.

Ἦχος β΄.

Θωρακισθεὶς τῇ θείᾳ ἰσχύϊ, ἀπτοήτως ἐχώρησας, πρὸς τοὺς ἀγῶνας τῆς ἀθλήσεως, Χρῆστε Μάρτυς ἀήττητε· σεαυτὸν γὰρ ἠρνήσω, οὐρανίῳ ἔρωτι, πάντων ἀλογήσας, τῶν ἐν κόσμῳ ἡδέων· διὸ καὶ τοῖς ἀνόμοις, εὐθαρσῶς ἐβόας· Οὐκ ἀρνοῦμαι τὸν Χριστόν, ᾧ λατρεύω ὡς Θεῷ καὶ Κτίστῃ μου, ὑπὲρ οὗ καὶ προθύμως θνήσκω· μαστίγων καὶ ποινῶν, ἀνώτερος φανείς, τοῦ πυρὸς περιγένου, οὗ ἀνδρείως ἐπέβης· καὶ νῦν τοῦ θείου φωτός, ἀνακεκαλυμμένου τρυφῶν, πρέσβευε Ἅγιε, ὑπὲρ τῶν τιμώντων σε.

Ἦχος γ΄.

Τὴν δρόσον τῆς χάριτος, περιφέρων τῇ ψυχῇ, ἀκατάφλεκτος ἔμεινας, ἐν τῷ παμφάγῳ πυρί, Χρῆστε Νεομάρτυς μακάριε· ὁ γὰρ τοὺς τρεῖς Παῖδας, ἀλωβήτους ἐν καμίνῳ φυλάξας, ὁ αὐτὸς καὶ τὸ ἀθλητικόν σου σῶμα, ἄφλεκτον διέσωσε, δοξάζων σου τὴν ἄθλησιν· καὶ τοῖς τῶν ἄθλων ἄνθραξι, τῆς πλάνης ἀναλώσας τὴν ἄκανθαν, νικηφόρος ἀνέστης, πρὸς δόξαν οὐράνιον. Αὐτῆς καὶ ἡμᾶς ἀξίωσον ταῖς πρὸς Χριστὸν πρεσβείαις σου.



Ἦχος δ΄.

Τῇ τῆς ψυχῆς ἀνδρείᾳ, τῶν πάλαι Μαρτύρων ζηλώσας τὴν ἀρετήν, τῶν ἄθλων αὐτῶν ἐκοινώνησας, ἀθλητικῶς ἀριστεύσας, Νεομάρτυς Χρῆστε· καὶ τῆς εὐκλείας αὐτῶν μέτοχος ἐγένου, ὡς τοῦ Χριστοῦ δοξάσας τὸ ὄνομα, ἀκαταπλήκτῳ παρρησίᾳ, ἐπὶ ἀνόμων καὶ ἀπίστων. Διὸ τὴν μνήμην σου τελοῦντες βοῶμέν σοι· Πρέσβευε Ἅγιε ἐκτενῶς, ῥύεσθαι ἡμᾶς πάσης θλίψεως.

Δόξα. ὁ αὐτός.

Τὸ πῦρ τῆς θείας ἀγάπης, ἀναφλέξαν σου τὴν ψυχήν, νεοφανῆ σε λαμπάδα ἔδειξε, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, Νεομάρτυς Χρῆστε· ἔνθεν πυρὸς ὑλικοῦ, τὴν ὁρμὴν οὐκ ἔδεισας, ἀλλ' ἀνώτερος τούτου ὤφθης, πᾶσιν ἐμφαίνων, τὴν κεκρυμμένην ἐν σοὶ λαμπρότητα. Διὸ Πρέβεζα ἡ πατρίς σου, ἀγαλλιᾶται τῇ δόξῃ σου, καὶ τὴν σὴν πανγέραστον μνήμην, χαρμοσύνως ἄγει, δοξάζουσα Χριστὸν τὸν σὲ δοξάσαντα.

Καὶ νῦν. Ὁ αὐτός. Προεόρτιον.

Πρὸ τοῦ Σταυροῦ σου Κύριε, παραλαβὼν τοὺς Μαθητὰς εἰς Ὄρος ὑψηλόν, μετεμορφώθης ἔμπροσθεν αὐτῶν, ἀκτῖσι δυνάμεως καταυγάζων αὐτούς· ἔνθεν φιλανθρωπίᾳ, ἐκεῖθεν ἐξουσίᾳ, δεῖξαι βουλόμενος τῆς Ἀναστάσεως τὴν λαμπρότητα· ἧς καὶ ἡμᾶς ὁ Θεός, ἐν εἰρήνῃ καταξίωσον, ὡς ἐλεήμων καὶ φιλάνθρωπος.

Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.



Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε τῶν ἀπίστων ταῖς χερσί, Μάρτυς ἀπηνῶς συνεσχέθης, ὥσπερ ἀρνίον Χριστοῦ, τότε τὴν εὐσέβειαν τρανῶς ἐκήρυξας, καὶ ἀνδρείως ἐκραύγαζες· Χριστοῦ δοῦλος πέλω, ὑπὲρ οὗ τὸν θάνατον, προθύμως δέχομαι· ὅθεν μαστιγώσεις ἐνέγκας, καὶ πυρὸς τὴν ἔκκαυσιν χαίρων, Χρῆστε κατ' ἀξίαν τεθαυμάστωσαι.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Ὅτε ἀπερρίφης τῷ πυρί, Μάρτυς ἀπτοήτῳ καρδίᾳ, ὡς τοῦ Χριστοῦ Ἀθλητής, τότε ἀκατάφλεκτον ὤφθη τὸ σῶμά σου, ἐνεργείᾳ τοῦ Πνεύματος, εἰς ἔκπληξιν πάντων, τὸ δὲ θεῖον πνεῦμά σου, Χριστῷ ἀνέδραμε, Χρῆστε ἐξαστράπτον τῇ δόξῃ, τῶν μαρτυρικῶν σου ἀγώνων, καὶ Μαρτύρων δήμοις συνηριθμήθη.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...

Χαίρει ἡ πατρίς σου ἡ κλεινή, Πρέβεζα ἐν σοὶ καυχωμένη, Χρῆστε μακάριε, καὶ ἁπάσας Ἅγιε, τὰς κύκλῳ πόλεις καλεῖ, τὴν ἁγίαν σου ἄθλησιν, ἀξίως τιμῆσαι, καὶ τὴν θείαν μνήμην σου, συνεορτάσαι φαιδρῶς· ἧπερ ἀεὶ δίδου ὑψόθεν, τῆς σῆς προστασίας θεόφρον, τὰς θεοδωρήτους ὄντως χάριτας.

Δόξα. Ἦχος πλ. δ΄.

Μαρτυρικῶς ἀγωνισάμενος, ἐν ἀνδρείᾳ ψυχῆς, τὸ τῆς νίκης διάδημα, παρὰ Χριστοῦ ἐκομίσω, Χρῆστε Μάρτυς ἀήττητε· τὴν γὰρ ἄνωθεν ῥοπήν, περιφέρων ὡς ὅπλον, τῶν ἐναντίων τὰς φάλαγγας, ἐτροπώσω τοῖς ἄθλοις σου.



Καὶ νῦν Μαρτύρων τοῖς χοροῖς, τοῦ ξύλου τῆς ζωῆς ἀπολαύων, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Τὸν γνόφον τὸν νομικόν, ἡ φωτεινὴ τῆς Μεταμορφώσεως, διεδέξατο νεφέλη· ἐν ᾗ Μωϋσῆς καὶ Ἠλίας γενόμενοι, καὶ τῆς ὑπερφώτου δόξης ἀξιωθέντες, Θεῷ ἔλεγον· Σὺ εἶ Θεὸς ἡμῶν, ὁ Βασιλεὺς τῶν αἰώνων.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, καὶ τὰ Ἀπολυτίκια.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τῆς Πρεβέζης τὸν γόνον Χρῆστον τὸν ἔνδοξον, ὡς τοῦ Χριστοῦ Ἀθλοφόρον νέον τιμήσωμεν· ἐν τῇ Κῷ γὰρ τὸν καλὸν ἀγῶνα ἤνυσε, καὶ ὥσπερ θῦμα τῷ Χριστῷ, προσαχθεὶς διὰ πυρός, ἀξίως ἐθαυμαστώθη. Καὶ νῦν ἀπαύστως πρεσβεύει, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Πρεβέζης ἀγλάϊσμα, καὶ Ἀθλητῶν μιμητής, καὶ πρέσβυς πρὸς Κύριον, καὶ ἀντιλήπτωρ ἡμῶν, ἐδείχθης μακάριε· σὺ γὰρ ἐν Κῷ ἀθλήσας, θείας ἔτυχες δόξης, Χρῆστε νέε ὁπλῖτα, καὶ πληροῖς τὰς αἰτήσεις, τῶν πίστει προσιόντων, τῇ θείᾳ πρεσβείᾳ σου.

Προεόρτιον, ὅμοιον.

Χριστοῦ τὴν Μεταμόρφωσιν, προϋπαντήσωμεν, φαιδρῶς πανηγυρίζοντες, τὰ προεόρτια, πιστοὶ καὶ βοήσω-

www.tezaurliturgic.ro

μεν· Ἤγγικεν ἡ ἡμέρα τῆς ἐνθέου εὐφροσύνης· ἄνεισιν εἰς τὸ Ὄρος, τὸ Θαβώρ, ὁ Δεσπότης, τῆς Θεότητος αὐτοῦ, ἀπαστράψαι τὴν ὡραιότητα.

Ἀπόλυσις.



## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α'. Στιχολογίαν, Κάθισμα.

Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ὡς ἤθλησας στερρῶς, δι' ἀγάπην Κυρίου, καθεῖλες τοῦ ἐχθροῦ, τὴν ψυχόλεθρον πλάνην, καὶ δόξης διαδήματι, οὐρανίου κεκόσμησαι, Χρῆστε ἔνδοξε, Νεομαρτύρων τὸ κλέος. Ὅθεν σήμερον, τὴν σὴν γεραίροντες μνήμην, Χριστὸν μεγαλύνομεν.

Προεόρτιον, ὅμοιον.

Ἀνέρχεται Χριστός, πρὸς Θαβώριον ὄρος, ἐκλάμψαι ὑπὲρ νοῦν, τοῖς αὐτοῦ Ἀποστόλοις, τὴν δόξαν τὴν ἀπόρρητον, τῆς αὐτοῦ ἀγαθότητος· ὅθεν σήμερον, προεορτίους αἰνέσεις, τούτῳ ᾄσωμεν, ἐν καθαρᾷ συνειδήσει, αὐτὸν μεγαλύνοντες.

Μετὰ τὴν β'. Στιχολογίαν, Κάθισμα.

Ἦχος γ'. Τὴν ὡραιότητα.

Ὡς ὁλοκαύτωμα, καὶ θῦμα τέλειον, Χριστῷ προσήνεξαι, Χρῆστε μακάριε, ἀπορριφεὶς ἐν τῷ πυρί, μανίᾳ τῶν ἀσεβούντων· ὅθεν θείᾳ χάριτι, ἀσινὴς ὤφθη Ἅγιε, ἐν φλογὶ τὸ σῶμά σου, καταπλῆττον τοὺς ἅπαντας. Χριστὸς γὰρ ὃν ἐδόξασας Μάρτυς, δοξάζει τοὺς θείους σου ἀγῶνας.



Προεόρτιον, ὅμοιον.

Χριστὸς ὁ Κύριος, δι' ἀγαθότητα, θέλων ἀνέρχεται, εἰς Ὄρος ἅγιον, δεῖξαι τοῖς θείοις Μαθηταῖς, ἀκτῖνας φωτὸς ἀΰλου· δεῦτε συνανέλθωμεν, ἀρετῶν εἰς ἀκρότητα, ἵνα θεασώμεθα, τὴν ὑπέρφωτον ἔλλαμψιν, ἐκλάμπουσαν ἡμῶν ταῖς καρδίαις, ἐν ἀπορρήτῳ μυστηρίῳ.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Κατασχόντες σε χερσίν, Ἀγαρ ἀπόγονοι δεινοί, ἐξεβίαζον πικρῶς, ἀποχωρίσαι σε Χριστοῦ, τὸν ἡδρασμένον σε Μάρτυς ἀγάπῃ θείᾳ· σὺ δὲ εὐθαρσῶς, ἐβόας Ἅγιε· Δοῦλος τοῦ Χριστοῦ, γνήσιος πέφυκα· καὶ αἰκισμοῖς βαλόντες τὸ σῶμά σου, φλογὶ παμβόρῳ παρέδωκαν, Χρῆστε θεόφρον, Πρεβέζης δόξα, καὶ νήσου Κῶ σεμνολόγημα.

Προεόρτιον, ὅμοιον.

Ἐν τῷ ὄρει τῷ Θαβώρ, ἤδη ἐπείγεται Χριστός, ἀνελθεῖν σὺν τοῖς τρισίν, αὐτοῦ Ἁγίοις Μαθηταῖς, αὐτοῖς τὴν δόξαν αὐτοῦ ἀποκαλύψαι. Ὅθεν τὰς ψυχάς, ἡμῶν καθάρωμεν, ῥύπων καὶ παθῶν, ἐνθέοις πράξεσιν, ὡς ἂν τῆς αἴγλης αὐτοῦ εἰσδεξώμεθα, τὰς ἐπιλάμψεις κραυγάζοντες· Δόξα σοι Σῶτερ, ὅτι τὴν φύσιν, τὴν τῶν βροτῶν ἐθεούργησας.

Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.



Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ...

Εὐαγγέλιον τὸ ἐν τῷ Ὄρθρῳ τοῦ Ἁγ. Γεωργίου.

Ὁ Ν'. Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. δ'.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Τῷ φωτὶ τῆς πίστεως, διηυγασμένος τὸν νοῦν, τὸν τοῦ σκότους ἄρχοντα, ἀθλητικῶς κατηγωνίσω, Νεομάρτυς Χρῆστε· καὶ ἐν πυρὶ τελέσας τὸν ἀγῶνα, πρὸς τὸ φῶς τῆς Ὑπερθέου Τριάδος ἀνέδραμες, θείαις μετοχαῖς θεούμενος. Καὶ νῦν φωτὶ τῶν πρεσβειῶν σου, σκοτασμοῦ θλίψεων ἀπάλλαξον, τοὺς ἑορτάζοντας τὴν μνήμην σου.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Εἶτα οἱ κανόνες, ὁ Προεόρτιος ἐκ τοῦ Μηναίου, καὶ τοῦ Ἁγίου ὁ ἑξῆς, οὗ ἡ ἀκροστιχίς.

«Χρῆστον ὑμνῶ Ἀθλητὴν νέον. Γερασίμου».

Ὠδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Χριστὸν ὃν ἐδόξασας, Χρῆστε ἀθλήσεως σκάμμασι, διασώζεσθαι δοῦναί μοι, φῶς τῇ καρδίᾳ μου, ἵνα μέλψω σου, τὴν μνήμην Νεομάρτυς, καὶ τὰ ὑπὲρ πίστεως, θεῖα παλαίσματα.

Ῥημάτων ἠλόγησας, τῶν δυσσεβούντων μακάριε, φρονήσει τῇ κρείττονι, καλλωπιζόμενος, καὶ ἐκήρυξας, τὴν πίστιν τὴν ἁγίαν, ὑπὲρ ἧς καὶ ἤθλησας, Χρῆστε στερρότατα.

www.tezaurliturgic.ro

Ἠθῶν καθαρότητι, καὶ πολιτείας σεμνότητι, κοσμούμενος Ἅγιε, ἀπὸ νεότητος, χαίρων ἔδραμες. Μαρτύρων τοὺς ἀγῶνας, καὶ τούτων ἰσότιμος, ὤφθης ἐν ἅπασι.

Θεοτοκίον.

Σαρκὸς ὁμοιώματι, ἐκ σοῦ τεχθεὶς ὁ Ὑπέρθεος, Ἁγνὴ Παναμώμητε, καὶ Ἀειπάρθενε, σωτηρίας σε, λαμπρὰν ἔδειξε πύλην, τοῖς πίστει δοξάζουσι, τὰ μεγαλεῖά σου.

**Καταβασία.** Σταυρὸν χαράξας...

Ὠδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

Τὸ πῦρ τῆς ἀγάπης τοῦ Κυρίου, ὦ Χρῆστε δεχθεὶς ἐν τῇ ψυχῇ, ἀνδρείως προσεχώρησας, πρὸς μαρτυρίου σκάμματα, καὶ τοῦ πυρὸς οὐκ ἔδεισας, Μάρτυς τὴν φλόγα τὴν βρέμουσαν.

Ὁ νέος ὁπλίτης τοῦ Σωτῆρος, Πρεβέζης τὸ ἄνθος τὸ τερπνόν, Χρῆστος ὁ παμμακάριστος, ὑμνείσθω θείοις ᾄσμασιν· ὑστέροις γὰρ ἐν ἔτεσιν, ἀθλητικῶς ἠνδραγάθησε.

Νομίμως ἀθλήσας Νεομάρτυς, ἀνόμων καθεῖλες τὴν ἰσχύν, καὶ ὡς τερπνὸν θυμίαμα, Κυρίῳ προσενήνεξαι, ὡς ἐν πυρὶ ἐτέλεσας, Χρῆστε τοὺς θείους ἀγῶνάς σου.

Θεοτοκίον.

Ὑψίστου καθέδρα ἀνεδείχθης, καὶ θρόνος πυρίμορ-



φος Ἁγνή, κρατοῦσα ἐν ἀγκάλαις σου, τὸν πάντα περιέχοντα, ἐκ σοῦ τεχθέντα Ἄχραντε, ἐπὶ καινίσει τοῦ πλάσματος.

**Καταβασία.** Ῥάβδος εἰς τύπον τοῦ μυστηρίου...

Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Χριστοῦ τῇ λαμπρότητι, καταυγασθεὶς τὴν ψυχήν, τὸ σκότος ἀπέφυγες, τῆς ἀσεβείας σοφέ, καὶ ἤθλησας ἄριστα· ὅθεν ἐν τῷ ἀδύτῳ, νῦν φωτὶ τοῦ Κυρίου, Χρῆστε Μάρτυς χορεύων, ἐκδυσώπει ἀπαύστως, τοῦ ῥύεσθαι παθῶν ἡμᾶς ἀμαυρώσεως.

Προεόρτιον, ὅμοιον.

Ὁ φῶς πέλων ἄδυτον, Υἱὸς καὶ Λόγος Θεοῦ, καὶ φῶς τὸ ἀπρόσιτον, εἰκὼν ὡς φύσει Θεός, Χριστὸς ὁ φιλάνθρωπος, ἄνεισιν εἰς τὸ Ὄρος, τῆς οἰκείας ἀκτῖνος, λάμψαι τοῖς Ἀποστόλοις, ἀστραπὴν ὑπὲρ λόγον· ὑμνήσωμεν τὴν τούτου λαμπρὰν Μεταμόρφωσιν.

Ὠδὴ δ'. Τὴν ἀνεξιχνίαστον.

Μάρτυς καθαίρετος τῶν τοῦ Χριστοῦ, θείων παθημάτων γεγένησαι, ὑστέροις χρόνοις, ἐναθλήσας καρτερῶς· ἐντεῦθεν καὶ συμμέτοχος, δόξης τῆς αὐτοῦ ὤφθης Ἅγιε.

Νοῦν τὸν σὸν ἀνύψωσας πρὸς τὸν Χριστόν, Χρῆστε θεολήπτῳ φρονήματι· ὅθεν μαστίγων, οὐκ ᾐσθάνου τὰς πληγάς, καὶ μαχαιρῶν ὑπέμεινας, τὰς κατατομὰς ἐν τῷ σώματι.



Ἔχει σε ἡ Πρέβεζα ἡ σὴ πατρίς, κλέος Νεομάρτυς καὶ καύχημα, ἣν ἀεὶ φρούρει, ἐκ παντοίων πειρασμῶν, μεγαλοφώνως μέλπουσαν, Χρῆστε τοὺς ἁγίους ἀγῶνάς σου.

Θεοτοκίον.

Ὤφθης πλατυτέρα τῶν οὐρανῶν, Κόρη ἐν νηδύϊ χωρήσασα, ἀπεριγράπτως, τὸν τῶν ὅλων Ποιητήν· διὸ κἀμὲ ἀνάδειξον, σκεῦος τῆς αὐτοῦ ἐπιλάμψεως.

**Καταβασία.** Εἰσακήκοα Κύριε...

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Ἀγάπῃ τῇ κρείττονι, τὸν νοῦν σου πυρπολούμενος, Χρῆστε Νεομάρτυς τοῦ Σωτῆρος, τὴν ἀναφθεῖσαν φλόγα εἰσέδραμες, καὶ πρὸς ἀτελεύτητον ζωήν, καὶ φῶς ὑπερκόσμιον, νικηφόρος ἀνέδραμες.

Θεὸς ὃν ἐδόξασας, δοξάζων σου τὴν ἄθλησιν, ἄφλεκτον τὸ σῶμά σου φυλάττει, ἐκ τοῦ παμφάγου πυρὸς μακάριε, ᾧ καὶ οὐρανόθεν θεῖον φῶς, κατελθὸν ὑπέδειξεν, ἥνπερ εὗρες λαμπρότητα.

Λαμπτὴρ ὡς πάμφωτος, τῇ Ἐκκλησίᾳ ἔλαμψας, Χρῆστε Νεομάρτυς θεοφόρε, καλῶς ἀθλήσας ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ· ὅθεν καὶ θερμαίνεις τῶν πιστῶν, τὰς ψυχὰς πρὸς ἔρωτα, τὸν οὐράνιον Ἅγιε.

Θεοτοκίον.

Ἡλίου πολύφωτον, τῆς δόξης ὤφθης σκήνωμα, Κε-



χαριτωμένη Θεοτόκε, προαγαγοῦσα τοῦτον ὡς ἄνθρωπον· ὅθεν ταῖς αὐτοῦ μαρμαρυγαῖς, τὴν ψυχήν μου λάμπρυνον, σκοτισθεῖσαν τοῖς πάθεσι.

**Καταβασία.** Ὢ τρισμακάριστον ξύλον...

Ὠδὴ ς'. Τὴν θείαν ταύτην.

Τὸ τῆς Πρεβέζης καλλώπισμα, καὶ Κώων ἱερὸν σεμνολόγημα, Χρῆστον τιμήσωμεν, τὸν τοῦ Χριστοῦ Νεομάρτυρα, ὡς ἂν αὐτοῦ πρεσβείαις, δεινῶν ῥυσθείημεν.

Ἡνίκα Μάρτυς κατέσχον σε, χερσὶν οἱ ἀσεβεῖς ἀνεκραύγαζες· Χριστοῦ μου πέφυκα, δοῦλος καὶ λάτρης ὦ ἄνομοι, δι' ὃν καὶ τὴν ζωήν μου, προθύμως τίθημι.

Νεκρώσας Μάρτυς τὸ φρόνημα, σαρκὸς τῆς φθειρομένης ἠγώνισαι, καθάπερ ἄσαρκος, καὶ νῦν ζωὴν τὴν ἀθάνατον, ἀξίως εὗρες Χρῆστε, ὡς Μάρτυς ἔνθεος.

Θεοτοκίον.

Ναμάτων θείων τῆς χάριτος, ὡς κρήνη πολυχεύμων καὶ ἄφθονος, Θεοχαρίτωτε, ἐλέους βλύσον σταγόνα μοι, τῷ καταφλεγομένῳ, παθῶν τοῖς ἄνθραξι.

**Καταβασία.** Νοτίου θηρός...

**Κοντάκιον.** Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.

Τῇ Χριστωνύμῳ σου κλήσει κοσμούμενος, Χριστοῦ ὁπλίτης ἐδείχθης περίδοξος, ὦ Χρῆστε ἀθλήσας στεῤῥῶ-

www.tezaurliturgic.ro

τατα, καὶ τοῦ πυρὸς ἐνεγκὼν τὴν κατάφλεξιν· διὸ θείας δόξης ἠξίωσαι.

### Ὁ Οἶκος

Θεωρεπῶς τὴν ζωὴν διανύων, πρὸς μαρτυρίου περίδοξον ὕψος, ἀγωνισάμενος καλῶς, καὶ ἐναθλήσας ἀνδρικῶς, ἤρθης ὦ Χρῆστε Νεομάρτυς τοῦ Χριστοῦ· τούτου γὰρ τῇ ἀγάπῃ πτερούμενος, τοῖς συλλαβοῦσί σε παρανόμοις, μεγαλοφώνως ἐβόας· Οὐκ ἀρνοῦμαι ὦ δυσσεβεῖς, τὴν Χριστώνυμον κλῆσιν· Χριστός μοι γὰρ φῶς καὶ ζωὴ καὶ Θεὸς τοῦ παντός, ὑπὲρ οὗ καὶ θνήσκω, ἀγαλλομένη ψυχῇ· ὅθεν μαστίγων ἐπιφοράς, καὶ πᾶσαν ἄλλην ποινὴν ὑπομείνας καὶ τομὴν καὶ πληγήν, τὸν διὰ πυρὸς ἐδέξω θάνατον, ὥσπερ ἄλλου πάσχοντος, καὶ τῷ ἀνεσπέρῳ φωτὶ τῆς ἄνω ζωῆς, ἐξεδήμησας χαίρων, ἀθλητικῶν στεφάνων ἀξιωθείς, καὶ τῆς ἀθανασίας προσεγγίσας τῇ πηγῇ. Διὸ Πρέβεζα καὶ Κῶς ἀγάλλονται, ἡ μὲν καυχωμένη τοῖς σπαργάνοις σου, ἡ δὲ γηθομένη τοῖς ἄθλοις σου, ἃς ἄμφω τῇ σῇ πρεσβείᾳ Μάρτυς φύλαττε· ὅτι θείας δόξης ἠξίωσαι.

### Συναξάριον

*Τῇ ε'. τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου ἐνδόξου Νεομάρτυρος Χρήστου, τοῦ ἐκ Πρεβέζης μὲν καταγομένου, ἐν δὲ τῇ νήσῳ Κῷ ἀθλήσαντος ἐν ἔτει ,αχξη' (1668), καὶ διὰ πυρὸς τελειωθέντος.*

Στίχ. Τὸ πῦρ τὸ οὐράνιον ὁ Χρῆστος φέρων
Πυρὸς κατετόλμησε τοῦ φθειρομένου
Χρῆστον πυρὶ ὕλαφῷ κατὰ ἕκτην φλεγέθουσι κεδνόν,



Οὗτος ἦν τῷ δεκάτῳ ἑβδόμῳ αἰῶνι, ἐκ Πρεβέζης τῆς Ἠπείρου φύς, ἐν πάσῃ εὐσεβείᾳ καὶ θεοφιλεῖ βίῳ κοσμούμενος, καὶ σεμνότητι τρόπων διαπρέπων. Ὑπομίσθιος ναύκληρος τελῶν ἔν τινι πλοίῳ (σαργάδι), καταπλεύσας ἐκ Κρήτης τῇ νήσῳ Κῷ, καὶ ἐξελθὼν ἵνα συντύχῃ Πνευματικῷ τινι πατρὶ πρὸς ἐξομολόγησιν, συνελήφθη παρά τινων παρατηρουμένων Ἀγαρηνῶν, τῶν λεγομένων Γιανιτσάρων· ἰδόντες γὰρ αὐτὸν ὕβριζον καὶ ἐλοιδόρουν τὴν Χριστώνυμον κλῆσιν καὶ τὸ θεῖον βάπτισμα. Ὁ δὲ θείου ζήλου πλησθείς, καὶ τῷ πυρὶ τῆς ἀγάπης τοῦ Χριστοῦ πυρούμενος, καὶ τῷ σημείῳ τοῦ ζωοποιοῦ Σταυροῦ θαρρυνθείς, αὐτόλμως καὶ εὐθαρσῶς ἤλεγξε τὴν τούτων ἀσέβειαν, πρόδρομον τοῦ Ἀντιχρίστου, καὶ βδέλυγμα τῆς ἐρημώσεως τὸν ψευδοπροφήτην αὐτῶν Μωάμεθ ἀποκαλέσας. Οἱ δὲ ἀκούσαντες τῶν λόγων τούτων, ὥρμησαν μετὰ θυμοῦ ὡς θῆρες ἀνήμεροι, καὶ κατασχόντες αὐτόν, τύπτοντες καὶ παίοντες καὶ ὑβρίζοντες ἤγαγον τῷ ἡγεμόνι (Πασσᾷ)· ᾧ ἀπτοήτως παραστὰς ὡμολόγησε μεγαλοφώνως τὴν καλὴν τῆς πίστεως ὁμολογίαν, ἀπαγγέλλων εὐτόνῳ φωνῇ τὸ θεῖον αὐτῆς σύμβολον. Ἰδόντες οἱ ἀντικείμενοι τὸ ἄτρεπτον καὶ ἀμετάθετον τῆς γνώμης αὐτοῦ, καὶ μαχαιρῶν τομαῖς τὸ ἑαυτοῦ σῶμα ἀπηνῶς πλήξαντες, καταδικάζουσι τεθῆναι ἐν πυρί· καὶ μεγάλην πυρὰν ἐκτὸς τῆς πόλεως ἀνάψαντες, ἔρριψαν αὐτόν, ὑμνοῦντα καὶ ἐπικαλούμενον τὸ ὄνομα Κυρίου.

Θαῦμα μέγα δὲ ἑωρᾶτο ἡνίκα ἐφλέγετο ὁ Μάρτυς τῷ πυρί· ἀστραπαὶ γὰρ ἡλιοειδεῖς καὶ μαρμαρυγαὶ καὶ λαμπηδόνες ἐκεῖθεν ἐξεπέμποντο, εἰς ἔκπληξιν τῶν ὁρώντων. Τὸ δὲ μαρτυρικὸν σῶμα, θείᾳ δυνάμει, ἄφλεκτον καὶ ἀκέραιον τηρηθέν, ἐπὶ τεσσαράκοντα ἡμέρας κείμενον, ὑπ' οὐδενὸς σαρκοβόρου ἐλυμάνθη θηρός, ἀλλ' ἐφαίνετο ὡσανεὶ κοιμώμενος ὁ μακάριος, καὶ ἐπὶ τρεῖς νύκτας φῶς κατελθὸν οὐρανόθεν κατεκάλυπτεν αὐτό. Εὐσεβεῖς δὲ τινὲς λάθρα ἐξ αὐτοῦ, εὐλαβείᾳ πολλῇ, τμήματα ἀπεκόμισαν, πλεῖστα δ' αὐτῶν θαύματα ἐνήργησαν, καὶ πάσχοντες ἐξ ἀκαθάρτων πνευμάτων ἐθεραπεύθησαν, τῇ τοῦ Ἁγίου χάριτι. Τὸ δὲ λοιπὸν ἀθλητικὸν λείψανον ἐτάφη παρὰ τῶν δυσσεβῶν ἐν ἀγνώστῳ τόπῳ.

*Ταῖς αὐτοῦ πρεσβείαις Χριστὲ ὁ Θεὸς καὶ πάντων σου τῶν Ἁγίων ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Ἐκκαιόμενος, πυρὶ τῆς ἀγαπήσεως, τοῦ Παντοκράτορος, ἀνδρειοτάτῃ φρενί, τὴν φλόγα εἰσέδραμες, τὴν ἀναφθεῖσάν σοι, ψάλλων· Ἅγιε ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὃν ἐδόξασας, Χριστὸν τὸν πάντων Κύριον, λαμπρῶς ἐδόξασε, τοὺς σοὺς ἀγῶνας σοφέ· φωτὶ οὐρανίῳ



γάρ, Χρῆστε ἐλάμπρυνε, τὸ σὸν λείψανον, ὃ οὐδαμῶς κατέφλεξε, τὸ παμφάγον πῦρ θεόφρον.

Νέος πέφηνας, ὁπλίτης τοῦ Παντάνακτος, Χρῆστε μακάριε, ἀνδραγαθήσας καλῶς, ὑστέροις ἐν ἔτεσι, πόνοις τῆς πίστεως· ὅθεν ἅπασα, ἡ Ἐκκλησία μέλπει σου, τοὺς ἀγῶνας Νεομάρτυς.

Θεοτοκίον.

Γενοῦ Ἄχραντε, προστάτις καὶ προσφύγιον, καὶ τεῖχος ἄρρηκτον, καὶ σωτηρίας λιμήν, τοῖς πίστει προστρέχουσι, τῇ ἀντιλήψει σου, οἷα τέτοκας, Μήτηρ τοῦ Παντοκράτορος, τοῦ τὰ πάντα δυναμένου.

**Καταβασία.** Ἔκνουν πρόσταγμα...

Ὠδὴ η'. Παῖδας εὐαγεῖς.

Ἐφλέξας πυρὶ τῶν σῶν ἀγώνων, τῆς πλάνης Χρῆστε θεόφρον ὕλην ἅπασαν, ἄφλεκτον δὲ σέσωσται, Μάρτυς καὶ ἀκέραιον, ἐν τῷ πυρὶ τὸ σῶμά σου δυνάμει κρείττονι, μαρμαρυγὰς ἐκπέμπον παραδόξως, αἴγλης οὐρανίου, εἰς θαῦμα τῶν ὁρώντων.

Ῥώμῃ οὐρανίῳ ἐναθλήσας, ἐδέξω τοῦ Παρακλήτου χάριν ἄφθονον· ὅθεν σου τὸ λείψανον, ἔβλυσεν ἰάματα, καὶ πνεύματα ἀπήλασας Μάρτυς ἀκάθαρτα, εἰς ἔνδειξιν τῆς σῆς μαρτυρίας, τῶν ὑπερυψούντων, Χριστὸν τὸν ἀθλοθέτην.

Ἄνωθεν φῶς θεῖον ἑωρᾶτο, τρισὶν ἐν νυξὶ Μάρ-



τυς τῷ σκήνει σου, ὃ οὐκ ἐλυμήνατο, ἐπὶ τεσσαράκοντα ἡμέρας κατακείμενον οὐ θὴρ οὐκ ἄλλη φθορά, ὃ χεῖρες δυσσεβούντων τῷ φθόνῳ, ἐν ἀγνώστῳ τόπῳ κατέκρυψαν θεόφρον.

Θεοτοκίον.

Σάρκα προσλαβὼν ἐκ σοῦ ὁ Λόγος, ἀτρέπτως καὶ ἀσυγχύτως καθ' ὑπόστασιν, κόσμῳ προελήλυθεν, ἐξ ἁγνῆς νηδύος σου, καὶ σωτηρίαν ἅπασι βραβεύει Ἄχραντε, τοῖς πίστει σοι βοῶσι τὸ χαῖρε· χαῖρε Θεοτόκε, βροτῶν ἡ σωτηρία.

**Καταβασία.** Εὐλογεῖτε Παῖδες...

Ὠδὴ θ'. Ἅπας γηγενής.

Ἵνα τοῦ Χριστοῦ, τὴν ἄνω λαμπρότητα καὶ φῶς τὸ ἄρρητον, κατίδῃς θεόληπτε, ἀνδρειοτάτῃ ψυχῇ ὑπέμεινας, τὴν τοῦ πυρὸς κατάφλεξιν καὶ χαίρων ἔδραμες, πρὸς τὴν δόξαν, τὴν ὑπὲρ κατάληψιν, καὶ λαμπρῶς ἐθεώθης μακάριε.

Μνήμην τὴν σεπτήν, τῶν θείων ἀγώνων σου ἄγει ἡ Πρέβεζα, ἡ σὲ τιθηνήσασα, ἀγαλλομένη Χρῆστε τῇ δόξῃ σου· ἣν σκέπε καὶ διάσωζε ἐκ πάσης θλίψεως, τὴν εἰρήνην, ταύτῃ ἐξαιτούμενος, καὶ τὰς δόσεις τῆς θείας χρηστότητος.

Ὅρμον τῆς ζωῆς, τῆς ἄνω κατέλαβες πλεύσας τὴν θάλασσαν, ἀκυμάντως Ἅγιε, τὴν τοῦ παρόντος βίου ἐν Πνεύματι, καὶ τοῖς Μαρτύρων τάγμασι συναυλιζόμενος,

www.tezaurliturgic.ro

τὸν παρόντα, Χρῆστε δέξαι ὕμνον μου, καὶ πταισμάτων μοι αἴτει τὴν ἄφεσιν.

Θεοτοκίον.

Ὕπερθεν Ἁγνή, ὡς Μήτηρ φιλεύσπλαγχνος τοῦ Παντοκράτορος, νεῦσον ταῖς δεήσεσι, τῶν τὴν σὴν κλῆσιν φωνούντων πάντοτε, καὶ πάρεσχε δεόμεθα τὴν σὴν βοήθειαν, τοῖς τελοῦσι, πόνοις καὶ κακώσεσιν, ὡς πηγὴ συμπαθείας ἀένναος.

Μυστικὸς εἶ Θεοτόκε...

**Καταβασίαι.** Ὁ διὰ βρώσεως τοῦ ξύλου...

**Ἐξαποστειλάριον.** Τοῖς Μαθηταῖς συνέλθωμεν.

Κρατυνθεὶς τῇ χάριτι, τοῦ Σωτῆρος θαῤῥῶν, ἀθλητικῶς ἠγώνισαι, ὑπὲρ τῆς εὐσεβείας, καὶ οὐδαμῶς ἐπτοήθης, ἀπειλὰς ἀσεβούντων, ἀλλ' ἀπτοήτως ἤνυσας, τὸν ἀγῶνα τὸν θεῖον διὰ πυρός, Χρῆστε Νεομάρτυς ἠγλαϊσμένε, καὶ ὡς θυσία ἄμωμος, τῷ Χριστῷ προσηνέχθης.

Προεόρτιον, ὅμοιον.

Οἱ δόξης ἐφιέμενοι, ἀληθῶς τῆς ἐνθέου, τὸ νέφος διακόψωμεν, τοῦ γεώδους σαρκίου, μετάρσιοι πρὸς τὸ ὄρος, τὸ Θαβὼρ ἀνελθόντες καὶ Μωϋσεῖ Ἠλίᾳ τε, Μαθητῶν τοῖς πρωτάρχαις συμμετασχεῖν, θεϊκῆς ἐλλάμψεως ἀπροσίτου, ἀξιωθῆναι σπεύσωμεν, φῶς φωτὶ προσλαβόντες.



## Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ΄, καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὸν Νεομάρτυρα Χρῆστον δεῦτε τιμήσωμεν, λαὸς ὁ τῆς Πρεβέζης, ὡς Χριστοῦ Ἀθλοφόρον, καὶ πρέσβυν καὶ μεσίτην ὑπὲρ ἡμῶν, πρὸς Χριστὸν ἐνθεώτατον, ἵνα ταῖς τούτου πρεσβείαις πάσης ὀργῆς, καὶ ἀνάγκης ῥυώμεθα.

Τὸ πῦρ τῆς θείας ἀγάπης Χρῆστε μακάριε, δεχθεὶς ἐν τῇ ψυχῇ σου, ἀπτοήτως ὑπῆλθες, τὴν φλόγα τὴν παμφάγον καὶ πρὸς Χριστόν, νικηφόρος ἀνέδραμες ὑπὲρ ἡμῶν ἱκετεύων διὰ παντός, τῶν τιμώντων σου τὴν ἄθλησιν.

Φῶς κατελθὸν οὐρανόθεν ἐπὶ τὸ σκῆνός σου, τὴν σὴν ἔδειξε δόξαν, ἣν ἐκτήσω θεόθεν, καὶ τοῦτο ἐν ἡμέραις ἄταφον ὄν, τεσσαράκοντα Ἅγιε, ἄφθαρτον ὤφθη δυνάμει τῇ θεϊκῇ, τοῖς πιστοῖς βλύζον ἰάματα.

Πρεβέζης χαῖρε ἡ πόλις Χρῆστον τὸν Μάρτυρα, προσάξασα Κυρίῳ, ὡς εὐώδη θυσίαν· ἐν Κῷ γὰρ ἐναθλήσας διὰ πυρός, τὸν ἀγῶνα ἐτέλεσε, καὶ ὑπὲρ σοῦ ἱκεσίας πρὸς ἱλασμόν, ἀναφέρει τῷ Παντάνακτι.

Δόξα. Ἦχος πλ. α΄.

Τῷ φωτὶ τῆς πίστεως, πυρσούμενος Μάρτυς, τὸν τοῦ σκότους ἄρχοντα, ἀθλητικῶς κατηγωνίσω· ὅλον γὰρ τὸν πόθον, ἀνατείνων τῷ Χριστῷ, σεαυτὸν ἠρνήσω, καὶ τοῦ πυρὸς τὴν ὁρμήν, ὥσπερ θείαν δρόσον, ὑπὲρ αὐτοῦ



ἡγήσω· καὶ ὡς θῦμα καθαρόν, προσενεχθεὶς τῷ Σωτῆρι, τὴν Ἐκκλησίαν εὔφρανας τῇ ἀθλήσει σου. Διὸ Πρέβεζα ἡ πατρίς σου, τὴν σὴν τιμῶσα μνήμην, εὐφροσύνως βοᾷ σοι· Χρῆστε Νεομάρτυς ἔνδοξε, ἀδιαλείπτως πρέσβευε, ῥύεσθαι ἡμᾶς ἀπὸ πάσης θλίψεως.

Καὶ νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Δεῦτε ἀναβῶμεν εἰς τὸ Ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ ἡμῶν, καὶ θεασώμεθα τὴν δόξαν, τῆς Μεταμορφώσεως αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρός· φωτὶ προσλάβωμεν φῶς· καὶ μετάρσιοι γενόμενοι τῷ πνεύματι, Τριάδα Ὁμοούσιον, ὑμνήσωμεν εἰς τοὺς αἰῶνας.

Δοξολογία μεγάλη καὶ

ἀπόλυσις.



## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ συνήθη. Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τῇ β΄ Σεπτεμβρίου.

**Κοινωνικόν.** Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάριον.

Χαίροις ὁ Πρεβέζης γόνος λαμπρός, ὁ ἐν Κῷ ἀθλήσας καὶ αἰσχύνας τοὺς δυσμενεῖς· χαίροις Νεομάρτυς, Χρῆστε Χριστοῦ ὁπλίτα· ᾧ πρέσβευε σωθῆναι τοὺς σὲ γεραίροντας.

Δίστιχον.

Χριστῷ με οἰκείωσαι ὦ Μάρτυς Χρῆστε
Γεράσιμον μέλποντα τὴν ἄθλησίν σου.

www.tezaurliturgic.ro

